ECOLE NORMALE SUPERIEURE

Sélection internationale

Examen de spécialité. Lettres classiques

Juin 2011

Homère, *Odyssée*, 15, 7-42 (Le songe de Télémaque)

7. Τηλέμαχον δ᾽ οὐχ ὕπνος ἔχε γλυκύς, ἀλλ᾽ ἐνὶ θυμῷ 8. νύκτα δι᾽ ἀμβροσίην μελεδήματα πατρὸς ἔγειρεν. 9. ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη: 10. "Τηλέμαχ᾽, οὐκέτι καλὰ δόμων ἄπο τῆλ᾽ ἀλάλησαι, 11. κτήματά τε προλιπὼν ἄνδρας τ᾽ ἐν σοῖσι δόμοισιν 12. οὕτω ὑπερφιάλους: μή τοι κατὰ πάντα φάγωσι 13. κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς. 14. ἀλλ᾽ ὄτρυνε τάχιστα βοὴν ἀγαθὸν Μενέλαον 15. πεμπέμεν, ὄφρ᾽ ἔτι οἴκοι ἀμύμονα μητέρα τέτμῃς. 16. ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται 17. Εὐρυμάχῳ γήμασθαι: ὁ γὰρ περιβάλλει ἅπαντας 18. μνηστῆρας δώροισι καὶ ἐξώφελλεν ἕεδνα: 19. μή νύ τι σεῦ ἀέκητι δόμων ἐκ κτῆμα φέρηται. 20. οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός. 21. κείνου βούλεται οἶκον ὀφέλλειν ὅς κεν ὀπυίῃ, 22. παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο 23. οὐκέτι μέμνηται τεθνηκότος οὐδὲ μεταλλᾷ. 24. ἀλλὰ σύ γ᾽ ἐλθὼν αὐτὸς ἐπιτρέψειας ἕκαστα 25. δμῳάων ἥ τίς τοι ἀρίστη φαίνεται εἶναι, 26. εἰς ὅ κέ τοι φήνωσι θεοὶ κυδρὴν παράκοιτιν. 27. ἄλλο δέ τοί τι ἔπος ἐρέω, σὺ δὲ σύνθεο θυμῷ. 28. μνηστήρων σ᾽ ἐπιτηδὲς ἀριστῆες λοχόωσιν 29. ἐν πορθμῷ Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης. 30. ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι. 31. ἀλλὰ τά γ᾽ οὐκ ὀΐω: πρὶν καί τινα γαῖα καθέξει 32. ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν. 33. ἀλλὰ ἑκὰς νήσων ἀπέχειν εὐεργέα νῆα, 34. νυκτὶ δ᾽ ὁμῶς πλείειν: πέμψει δέ τοι οὖρον ὄπισθεν 35. ἀθανάτων ὅς τίς σε φυλάσσει τε ῥύεταί τε. 36. αὐτὰρ ἐπὴν πρώτην ἀκτὴν Ἰθάκης ἀφίκηαι, 37. νῆα μὲν ἐς πόλιν ὀτρῦναι καὶ πάντας ἑταίρους, 38. αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι, 39. ὅς τοι ὑῶν ἐπίουρος, ὁμῶς δέ τοι ἤπια οἶδεν. 40. ἔνθα δὲ νύκτ᾽ ἀέσαι: τὸν δ᾽ ὀτρῦναι πόλιν εἴσω 41. ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ, 42. οὕνεκά οἱ σῶς ἐσσὶ καὶ ἐκ Πύλου εἰλήλουθας."	Le doux sommeil ne saisissait point Tèlémakhos, et il songeait à son père, dans son esprit, pendant la nuit solitaire. Et Athènè aux yeux clairs, se tenant près de lui, parla ainsi : - Tèlémakhos, il ne serait pas bien de rester plus longtemps loin de ta demeure et de tes richesses laissées en proie à des hommes insolents qui dévoreront et se partageront tes biens ; car tu aurais fait un voyage inutile. Excite donc très promptement l'illustre Ménélaos à te renvoyer, afin que tu retrouves ton irréprochable mère dans tes demeures. Déjà son père et ses frères lui ordonnent d'épouser Eurymakhos, car il l'emporte sur tous les Prétendants par les présents qu'il offre et la plus riche dot qu'il promet. Prends garde que, contre son gré, elle emporte ces richesses de ta demeure. Tu sais, en effet, quelle est l'âme d'une femme ; elle veut toujours enrichir la maison de celui qu'elle épouse. Elle ne se souvient plus de ses premiers enfants ni de son premier mari mort, et elle n'y songe plus. Quand tu seras de retour, confie donc, jusqu'à ce que les Dieux t'aient donné une femme vénérable, toutes tes richesses à la meilleure de tes servantes. Mais je te dirai autre chose. Garde mes paroles dans ton esprit. Les plus braves des Prétendants te tendent une embuscade dans le détroit d'Ithakè et de la stérile Samos, désirant te tuer avant que tu rentres dans ta patrie ; mais je ne pense pas qu'ils le fassent, et, auparavant, la terre enfermera plus d'un de ces Prétendants qui mangent tes biens. Conduis ta nef bien construite loin des îles, et navigue la nuit. Celui des Immortels qui veille sur toi t'enverra un vent favorable. Et dès que tu seras arrivé au rivage d'Ithakè, envoie la nef et tous tes compagnons à la ville, et va d'abord chez le porcher qui garde tes porcs et qui t'aime. Dors chez lui, et envoie-le à la ville annoncer à l'irréprochable Pènélopéia que tu la salues et que tu reviens de Pylos.

Question : En vous fondant sur ce passage du chant XV de l'*Odyssée*, présentez les caractéristiques principales de la **langue poétique** d'Homère.